ἐς ὄρος ἐς ὄρος ἔμολ᾽ ἔμολεν, ὦ βάκχαι;
τίς ἄρα νιν ἔτεκεν; οὐ γὰρ ἐξ αἵματος
γυναικῶν [ὅδ᾽] ἔφυ, λεαίνας δέ τινος
⟨ὅδ᾽⟩ ἢ Γοργόνων Λιβυσσᾶν γένος.

– ἴτω δίκα φανερός, ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος τόκον γηγενῆ,

ὃς ἀδίκῳ γνώμᾳ παρανόμῳ τ᾽ ὀργᾷ ἀντ.
περὶ ⟨σά⟩, Βάκχι᾽, ὄργια ματρός τε σᾶς
μανείσᾳ πραπίδι παρακόπῳ τε λήματι στέλλεται,
τἀνίκατον ὡς κρατήσων βίᾳ.
γνωμᾶν σώφρονα θνατοῖς ἀπροφάσι-
στος ποτὶ τὰ θεῶν ἔφυ
βροτείῳ τ᾽ ἔχειν ἄλυπος βίῳ.
τὸ σοφὸν οὐ φθονῶ· χαίρω θηρεύου-
σα τάδ᾽ ἕτερα μεγάλα φανερά τ᾽ ὄντ᾽· ἄγει ⟨δ᾽⟩
ἐπὶ τὰ καλὰ βίον· ἦμαρ ἐς νύκτα τ᾽ εὐ-
αγοῦντ᾽ εὐσεβεῖν, τὰ δ᾽ ἔξω νόμιμα
δίκας ἐκβαλόντα τιμᾶν θεούς.

– ἴτω δίκα φανερός, ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος τόκον γηγενῆ.

φάνηθι ταῦρος ἢ πολύκρανος ἰδεῖν ἐπῳδ.